Παρατατ. Εἶν, εἶς, εἶ.
ἶτον, ἴτην.
ἶμεν, ἶτε, ἶσαν, καὶ ἴεσαν.

✿. Ἄχρηστα δὲ πάντα, πλὴν τοῦ γ΄. πληθυντικοῦ.

Παρακείμ. Εἶκα, εἶκας, εἶκε.
εἴκατον, εἴκατον.
εἴκαμεν, εἴκατε, εἴκασι.

✿. Ὥσπερ τὸ τέθεικα. ἐντεῦθεν τὸ, ἀφεικὼς, καὶ παρεικὼς, καὶ ἀφεικέναι, καὶ παρεικέναι.

Μεσ. παρακ. Εἶα, εἶας, εἶε.
εἴατον, εἴατον.
εἴαμεν, εἴατε, εἴασι.

Καὶ τροπῇ. Ἧα, ἧας, ἧε.
ἥατον, ἥατον.
ἥαμεν, ἥατε, ἥασι.

Καὶ διαλύσει. Ἤϊα, ἤϊα, ἤϊε.

Ὑπερσυντ. Εἴκειν, εἴκεις, εἴκει.

Καὶ Μέσος. Ἤειν, ἤεις, ἤει.

✿. Λαμβάνει δὲ καὶ παρατατικοῦ σημασίαν, καὶ ἀορ. β΄.

Ἀόρισ΄. β΄. Ἶον, ἶες, ἶε.
ἶετον, ἱέτην.
ἶεμεν, ἶετε, ἶον.

Οἱ δὲ ἄλλοι Χρόνοι οὐκ ἐν χρήσει. ἀλλ᾽ οὐδ᾽ οἱ προεκτεθέντες πάντες.

Προστακτικά.

Ἐνεστώς. Ἴθι, καὶ εἶ, ἴτω.
ἶτον, ἴτων.